www.tezaurliturgic.ro

# TEZAUR LITURGIC

## 12 IULIE

# SLUJBA SF.CUVIOS PAISIE EZNEPIDIS DE LA SUROTI

ATENA,2010


ΑΠΟΣΤΟΛΙΚΗ ΔΙΑΚΟΝΙΑ
ΤΗΣ ΕΚΚΛΗΣΙΑΣ ΤΗΣ ΕΛΛΑΔΟΣ

# 12 ΙΟΥΛΙΟΣ
# ΠΑΪΣΙΟΣ ΟΣΙΟΣ ΑΓΙΟΡΕΙΤΗΣ
# ΑΚΟΛΟΥΘΙΑ

## ΜΙΚΡΟΣ ΕΣΠΕΡΙΝΟΣ

Ἱστῶμεν στίχους δ’, καὶ ψάλλομεν Στιχηρὰ Προσόμοια. Ἦχος α΄. Πανεύφημοι Μάρτυρες.

Πάτερ Παΐσιε τὸ σόν, ἱερὸν μνημόσυνον, τὴν Ἐκκλησίαν ἐφαίδρυνε, καὶ συνεκάλεσε, εὐλαβῶς ὑμνῆσαι, τοὺς σεπτοὺς ἀγῶνάς σου, τοὺς πόνους τὰς νηστείας τὰ δάκρυα, τὴν κακοπάθειαν, ἀνθ’ ὧν εὗρες νῦν ἀνάπαυσιν, σὺν Ἁγίων χοροῖς αὐλιζόμενος.

Πάτερ Παΐσιε Χριστόν, ἐκ παιδὸς ἠγάπησας, διὰ συντόνου ἀσκήσεως, καὶ μέχρις αἵματος, τοῖς πᾶσιν ἐγένου, τὰ πάντα μακάριε, στηρίζων νουθετῶν καὶ εὐχόμενος, παννύχοις στάσεσι· διὸ πάντες τὴν ἁγίαν σου, κατὰ χρέος τιμῶμεν πανήγυριν.

Πάτερ Παΐσιε Χριστοῦ, καθορῶν τὸ πρόσωπον, τὸ ἐφετὸν τηλαυγέστερον, μεθέξει κρείττονι, καὶ τῆς Θεοτόκου, τὴν δόξαν θεώμενος, σὺν πᾶσι τοῖς Ὁσίοις καὶ Μάρτυσι, νῦν καθικέτευε, δωρηθῆναι ταῖ ψυχαῖς ἡμῶν, τὴν εἰρήνην καὶ τὸ μέγα ἔλεος.

Θεόφρον Παΐσιε ὁ σός, τάφος χαριτόβρυτος, καὶ τοῖς πιστοῖς πολυφίλητος, θαυμάτων πέλαγος, ἀληθῶς ὁρᾶται· οὕτω γὰρ ἐδόξασε, Χριστὸς τὴν ἐν κρυπτῷ πολιτείαν σου, πᾶσι τοῖς ἔθνεσι· Ὃν ἱκέτευε δεόμεθα, τοῦ ῥυσθῆναι ἡμᾶς τῆς κολάσεως.

*Δόξα. Ἦχος β΄.*

Ὅσιε Πάτερ, μεγάλων χαρισμάτων ἠξιώθης ἐν τῇ προσκαίρῳ ζωῇ· δι' ὧν ὡς φῶς τῷ κόσμῳ ἔλλαμψας, Παΐσιε μακάριε· καὶ νῦν τοῦ Παραδείσου τὰ πλάτη χοροβατῶν, σὺν πᾶσι τοῖς Ἁγίοις, ἀδιαλείπτως μνημόνευε, καὶ ἡμῶν τῶν ἐν πίστει, ἑορταζόντων τὴν μνήμην σου.

*Καὶ νῦν. Θεοτοκίον.*

Τὴν πᾶσαν ἐλπίδα μου εἰς Σὲ ἀνατίθημι, Μῆτερ τοῦ Θεοῦ, φύλαξόν με ὑπὸ τὴν σκέπην Σου.

*Εἰς τὸν Στίχον. Ἦχος β΄. Οἶκος τοῦ Ἐφραθᾶ.*

Χαίρει ἐν οὐρανοῖς, ὁ τῶν Ἁγίων δῆμος, καὶ τῶν πιστῶν τὰ πλήθη, ἐπὶ τῆς γῆς τιμῶντα, τὴν μνήμην σου Παΐσιε.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Ἄστρον νεολαμπές, ἐκ τῆς ἑώρας ὤφθης, Παΐσιε φωτίζον, ἡμᾶς ταῖς ἀρεταῖς σου, καὶ τοῖς ἐνθέοις λόγοις σου.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Πόνους ἀσκητικούς, τῶν Ὁσίων ζηλώσας, ἰσάγγελος ὡράθης, ἐν σώματι ὑπάρχων, Παΐσιε μακάριε.

*Δόξα. Τριαδικόν.*

Ὅλος καταυγασθείς, φωτὶ τῷ τρισηλίῳ, τῆς Ἁγίας Τριάδος, Ὀρθοδοξίας φέγγος, τῷ κόσμῳ Πάτερ ἔφανας.

*Καὶ νῦν. Θεοτοκίον.*

Κρίνον νεοθαλές, πιστοὺς εὐωδιάζον, ἐξ Ἄθωνος ἐφάνη, Κυρία Θεοτόκε, ὁ δοῦλός Σου Παΐσιος.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῶν Ὁσίων τὸν βίον ἐκ παιδὸς μιμησάμενος, ὤφθης ἐν ἐσχάτοις τοῖς χρόνοις, θεοφόρε Πατὴρ ἡμῶν Παΐσιε· ἐν Ἄθῳ γὰρ ἀσκήσει διελθών, καὶ Πνεύματος Ἁγίου πληρωθείς, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει ἐκβοώντων σοι· Χαίροις τῶν μοναστῶν ἡ καλλονή, χαίροις τοῦ Γένους καύχημα, χαίροις τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, τὸ νέον ἀγλάϊσμα.

*Δόξα. Ἦχος γ΄. Θείας πίστεως.*

Θεῖον βλάστημα, Καππαδοκίας, νέον καύχημα, τῆς Ἐκκλησίας, ἀνεδείχθης θεοφόρε Παΐσιε· ἀσκητικῶς γὰρ ἐκλάμψας ἐν Ἄθωνι, παρὰ Θεοῦ ἐδοξάσθης τοῖς πέρασι, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίου*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

# ΜΕΓΑΣ ΕΣΠΕΡΙΝΟΣ

Εὐλογήσαντος τοῦ ἱερέως, ὁ Προοιμιακός, καὶ τό· *Μακάριος ἀνήρ.* Εἰς δὲ τό· *Κύριε ἐκέκραξα,* ἱστῶμεν στίχους στ', καὶ ψάλλομεν τὰ ἑξῆς Προσόμοια. Ἦχος β'. Ὅτε ἐκ τοῦ ξύλου.

Ἄνθος, ἐν ἐώας ὡς τερπνόν, Πάτερ ἀληθῶς ἀνεδύης, ἐν τοῖς ἐσχάτοις καιροῖς, Ὅσιε Παΐσιε, τῶν μοναστῶν καλλονή, καὶ Ὁσίων ἐφάμιλλος, τῶν πάλαι ἐδείχθης, λάμψας ἐν τῷ Ἄθωνι, ἀσκητικῇ βιοτῇ· ὅθεν, τὴν ἁγίαν σου μνήμην, πάντες ἑορτάζομεν πόθῳ, τοὺς σεπτοὺς ἀγῶνάς σου γεραίροντες.

Ἔρωτι τῷ θείῳ πτερωθείς, κόσμου καταλέλοιπας πᾶσαν, τὴν ματαιότητα, Ὅσιε Παΐσιε, ἀνατεθεὶς τῷ Θεῷ, καὶ τὸ Ὄρος τὸ Ἅγιον, κατέλαβες Πάτερ, πόνοις τῆς ἀσκήσεως, ἀποκαθαίρων τὸν νοῦν· ὅθεν, Παρακλήτου τὴν χάριν, πᾶσαν εἰσδεξάμενος ὤφθης, τοῦ Χριστοῦ θεράπων ἐνθεώτατος.

Ὅτε, ἐκ Φαράσων προελθών, εἰς τὴν τῆς Κονίτσης πολίχνην, Πάτερ κατήντησας, ἅπαντας ἐξέπληξας, βίου ὀρθότητι, ἀρεταῖς ἐγκοσμούμενος, καὶ θείᾳ ὁράσει, πρόσωπον πρὸς πρόσωπον, ἰδὼν τὸν Κύριον, τότε, ξενιτείᾳ τελείᾳ, ἐκ τῆς ἐπιγείου στρατείας, τῇ Χριστοῦ θητείᾳ προσεχώρησας.

Ὥσπερ, κιβωτὸν ἁγιασμοῦ, τὸν σὸν χαριτόβρυτον τάφον, ὁρῶμεν ἅπαντες, θαύματα παράδοξα, ἐπιτελοῦντα πιστοῖς, καὶ ἰάματα βλύζοντα, διώκοντα πλήθη, δαιμόνων ἀκάθαρτα, Πνεύματος χάριτι·

ὅνπερ, εὐλαβῶς προσκυνοῦντες, ῥῶσιν κομιζόμεθα θείαν, καὶ τὸν ἱλασμὸν Πάτερ Παΐσιε.

Ὤφθης, ὥσπερ ἄγγελος Θεοῦ, ἐν τῇ γενεᾷ τῇ ἐσχάτῃ, ἐπιστηρίζων βροτούς, μέγας καὶ διδάσκαλος, τῆς ἐγκρατείας κανών, προορῶν τὰ ἐσόμενα, τὰ πρὶν διεκφαίνων, λύχνος διακρίσεως, καὶ ἀσθενῶν ἰατρός, στῦλος, καρτερίας ἐν πόνοις, καὶ θαυματουργὸς θεοφόρε, Ὅσιε Πατὴρ ἡμῶν Παΐσιε.

Χαίρει, ἡ ἁγία σου Μονή, ὥσπερ θησαυρὸν κεκτημένη, τὸ θεῖον μνῆμά σου, Ὅσιε Παΐσιε, καὶ ἐγκαυχᾶται ἐν σοί, ὡς ἐφόρῳ καὶ κτήτορι, βοῶσά σοι Πάτερ· λύτρωσαι τὴν ποίμνην σου, ἥνπερ ἠγάπησας, πάσης, προσβολῆς ἐναντίας, καὶ τοῖς σὲ τιμῶσιν ἐν ὕμνοις, αἴτησαι πταισμάτων τὴν συγχώρησιν.

*Δόξα. Ἦχος πλ. β΄.*

Σήμερον, συνεκάλεσεν ἡμᾶς, ἡ πάνσεπτος μνήμη σου, θεοφόρε Παΐσιε Ὅσιε· διὸ ἅπαντες πνευματικῶς πανηγυρίζοντες, μακαρίζομέν σε λέγοντες· Πάτερ ἀοίδιμε, ὁ ἐκ παιδὸς τῇ ἐγκρατείᾳ ἡγιασμένος, καὶ τῶν πάλαι Ὁσίων ὁμότροπος· χαίροις, ὁ πολύεδρος ἀδάμας τῆς χάριτος, τῶν ἀρετῶν τὸ κειμήλιον, καὶ νέον ἀγαλλίαμα τῆς Ἐκκλησίας· χαίροις, φωστὴρ τοῦ Γένους ἀείφωτε, τοῦ Παραδείσου οἰκῆτορ, καὶ ἀκέστωρ θερμότατε. Σὲ παρακαλοῦμεν ἁγιώτατε Πάτερ, πρόφθασον καὶ λύτρωσαι ἡμᾶς, τῆς ἐνεστώσης ἀνάγκης, ταῖς πρὸς Θεὸν εὐπροσδέκτοις πρεσβείαις σου.

*Καὶ νῦν. Θεοτοκίον*

Τίς μὴ μακαρίσει σε, Παναγία Παρθένε; τίς μὴ ἀνυμνήσει σου τὸν ἀλόχευτον τόκον; ὁ γὰρ ἀχρόνως ἐκ Πατρὸς ἐκλάμψας Υἱὸς μονογενής, ὁ αὐτός ἐκ σοῦ τῆς Ἁγνῆς προῆλθεν, ἀφράστως σαρκωθείς, φύσει Θεὸς ὑπάρχων, καὶ φύσει γενόμενος ἄνθρωπος δι' ἡμᾶς, οὐκ εἰς δυάδα προσώπων τεμνόμενος, ἀλλ' ἐν δυάδι φύσεων, ἀσυγχύτως γνωριζόμενος. Αὐτὸν ἱκέτευε, σεμνὴ Παμμακάριστε, ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἴσοδος, Φῶς ἱλαρόν, Προκείμενον τῆς ἡμέρας, καὶ τὰ ἀναγνώσματα.*

*Παροιμιῶν τὸ Ἀνάγνωσμα. (κεφ. 10,7)*

Μνήμη δικαίου μετ' ἐγκωμίων, καὶ εὐλογία Κυρίου ἐπὶ κεφαλὴν αὐτοῦ. Μακάριος ἄνθρωπος, ὃς εὗρε σοφίαν καὶ θνητός, ὃς οἶδε σύνεσιν. Κρεῖσσον γὰρ αὐτὴν ἐμπορεύεσθαι, ἢ χρυσίου καὶ ἀργυρίου θησαυρούς. Τιμιωτέρα δέ ἐστι λίθων πολυτελῶν· πᾶν δὲ τίμιον, οὐκ ἄξιον αὐτῆς ἐστιν. Ἐκ γὰρ τοῦ στόματος αὐτῆς ἐκπορεύεται δικαιοσύνη, νόμον δὲ καὶ ἔλεον ἐπὶ γλώσσης φορεῖ. Τοιγαροῦν ἀκούσατέ μου, ὦ τέκνα, σεμνὰ γὰρ ἐρῶ. Καὶ μακάριος ἄνθρωπος, ὃς τὰς ἐμὰς ὁδοὺς φυλάξει. Αἱ γὰρ ἔξοδοί μου, ἔξοδοι ζωῆς, καὶ ἑτοιμάζεται θέλησις παρὰ Κυρίου. Διὰ τοῦτο παρακαλῶ ὑμᾶς καὶ προΐεμαι ἐμὴν φωνὴν υἱοῖς ἀνθρώπων. Ὅτι ἐγὼ ἡ σοφία κατεσκεύασα βουλὴν καὶ

γνῶσιν καὶ ἔννοιαν· ἐγὼ ἐπεκαλεσάμην. Ἐμὴ βουλὴ καὶ ἀσφάλεια, ἐμὴ φρόνησις, ἐμὴ δὲ ἰσχύς. Ἐγὼ τοὺς ἐμὲ φιλοῦντας ἀγαπῶ, οἱ δὲ ἐμὲ ζητοῦντες εὑρήσουσι χάριν. Νοήσατε τοίνυν ἄκακοι πανουργίαν, οἱ δὲ ἀπαίδευτοι ἔνθεσθε καρδίαν. Εἰσακούσατέ μου καὶ πάλιν, σεμνὰ γὰρ ἐρῶ· καὶ ἀνοίγω ἀπὸ χειλέων ὀρθά. Ὅτι ἀλήθειαν μελετήσει ὁ λάρυγξ μου, ἐβδελυγμένα δὲ ἐναντίον ἐμοῦ χείλη ψευδῆ. Μετὰ δικαιοσύνης πάντα τὰ ῥήματα τοῦ στόματός μου, οὐδὲν ἐν αὐτοῖς σκολιόν, οὐδὲ στραγγαλιῶδες. Πάντα εὐθέα ἐστὶ τοῖς νοοῦσι καὶ ὀρθὰ τοῖς εὑρίσκουσι γνῶσιν. Διδάσκω γὰρ ὑμῖν ἀληθῆ, ἵνα γένηται ἐν Κυρίῳ ἡ ἐλπὶς ὑμῶν, καὶ πλησθήσεσθε πνεύματος.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα. (Κεφ. 4,7)*

Δίκαιος ἐὰν φθάσῃ τελευτῆσαι, ἐν ἀναπαύσει ἔσται. Γῆρας γὰρ τίμιον οὐ τὸ πολυχρόνιον, οὐδὲ ἀριθμῷ ἐτῶν μεμέτρηται. Πολλιὰ δέ ἐστι φρόνησις ἀνθρώποις· καὶ ἡλικία γήρως βίος ἀκηλίδωτος. Εὐάρεστος Θεῷ γενόμενος ἠγαπήθη· καὶ ζῶν μεταξὺ ἁμαρτωλῶν μετετέθη. Ἡρπάγη, μὴ κακία ἀλλάξῃ σύνεσιν αὐτοῦ ἢ δόλος ἀπατήσῃ ψυχὴν αὐτοῦ· βασκανία γὰρ φαυλότητος ἀμαυροῖ τὰ καλά, καὶ ῥεμβασμὸς ἐπιθυμίας μεταλλεύει νοῦν ἄκακον. Τελειωθεὶς ἐν ὀλίγῳ ἐπλήρωσε χρόνους μακρούς· ἀρεστὴ γὰρ ἦν Κυρίῳ ἡ ψυχὴ αὐτοῦ· διὰ τοῦτο ἔσπευσεν ἐκ μέσου πονηρίας. Οἱ δὲ λαοὶ ἰδόντες καὶ μὴ νοήσαντες, μηδὲ θέντες ἐπὶ διανοίᾳ τὸ τοιοῦτον, ὅτι χάρις καὶ ἔλεος ἐν

τοῖς ὁσίοις αὐτοῦ καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Σοφίας Σολομῶντος τὸ Ἀνάγνωσμα (Κεφ. 3,1)*

Δικαίων ψυχαὶ ἐν χειρὶ Θεοῦ καὶ οὐ μὴ ἅψηται αὐτῶν βάσανος. Ἔδοξαν ἐν ὀφθαλμοῖς ἀφρόνων τεθνάναι καὶ ἐλογίσθη κάκωσις ἡ ἔξοδος αὐτῶν καὶ ἡ ἀφ' ἡμῶν πορεία σύντριμμα· οἱ δέ εἰσιν ἐν εἰρήνῃ· καὶ γὰρ ἐν ὄψει ἀνθρώπων, ἐὰν κολασθῶσιν, ἡ ἐλπὶς αὐτῶν ἀθανασίας πλήρης. Καὶ ὀλίγα παιδευθέντες μεγάλα εὐεργετηθήσονται· ὅτι ὁ Θεὸς ἐπείρασεν αὐτούς, καὶ εὗρεν αὐτοὺς ἀξίους ἑαυτοῦ. Ὡς χρυσὸν ἐν χωνευτηρίῳ ἐδοκίμασεν αὐτοὺς καὶ ὡς ὁλοκάρπωμα θυσίας προσεδέξατο αὐτούς. Καὶ ἐν καιρῷ ἐπισκοπῆς αὐτῶν ἀναλάμψουσι, καὶ ὡς σπινθῆρες ἐν καλάμῃ διαδραμοῦνται. Κρινοῦσιν ἔθνη, καὶ κρατήσουσι λαῶν, καὶ βασιλεύσει αὐτῶν Κύριος εἰς τοὺς αἰῶνας. Οἱ πεποιθότες ἐπ' αὐτῷ συνήσουσιν ἀλήθειαν, καὶ οἱ πιστοὶ ἐν ἀγάπῃ προσμενοῦσιν αὐτῷ· ὅτι χάρις καὶ ἔλεος ἐν τοῖς ὁσίοις αὐτοῦ, καὶ ἐπισκοπὴ ἐν τοῖς ἐκλεκτοῖς αὐτοῦ.

*Εἰς τὴν Λιτήν, Ἰδιόμελα. Ἦχος α΄.*

Ὁ ἐκστατικὸς Παΐσιε ἔρως τοῦ Θεοῦ, ὅλον σε φωτοειδῆ ἐναπέδειξεν, καὶ πανεύοσμον σκεῦος τοῦ Παρακλήτου· νῦν δὲ τῶν ἐσόπτρων λυθέντων μακάριε, καὶ τὸ ἀρχίφωτον κάλλος ἀμέσως καθορῶν, παῤῥησίᾳ

δυσώπησον, τὸν ἐλεήμονα Κύριον, τοῦ φωτίσαι καὶ σῶσαι τὰς ψυχὰς ἡμῶν.

*Ὁ αὐτός.*

Ὦ θεῖε ἱέραξα τοῦ Ἄθω, τῶν ἀθεάτων ἀναβάσεων! ὦ ἱερὲ πελεκάν, ὁ καταθύσας σεαυτόν, αἵμασι καὶ πόνοις ἀσκήσεως, τῶν σῶν παίδων τῇ ἀγαπήσει· σὺ τοῦ σοῦ ἔρωτος Χριστοῦ τὴν συνουσίαν, ἐν ἐρημίαις ἔστερξας ἐπαπολαύσαι, τῇ νηστεία τρεφόμενος, ταῖς ἀγρυπνίαις ἐγκαρτερῶν, καὶ τῇ εὐχῇ ἀδολεσχήσας· ἀσκητῶν ὡραιότης, θεόπτα Παΐσιε, μνημόνευε καὶ ἡμῶν, τῶν ἐκτελούντων τὴν μνήμην σου.

*Ὁ αὐτός.*

Τί σὲ ὀνομάσωμεν Παΐσιε; Προφήτην, Ἀπόστολον, Μάρτυρα, Ὅσιον, ἀσκητήν, ποιμένα καὶ διδάσκαλον, τῶν πλανωμένων ὁδηγόν, θεολόγον θεόληπτον, ἄγγελον ἐν σαρκὶ ὁρώμενον, στρατιώτην Χριστοῦ, θαυματουργὸν ἀνάργυρον, ἢ καθαιρέτην τῶν δαιμόνων; Ἐξεχύθη γὰρ ὑπερφυῶς ἡ χάρις Πάτερ, ἐν τοῖς μέλεσί σου· τοῦ Παρακλήτου ἀκηλίδωτον ἔσοπτρον θεσπέσιε, πρέσβευε ὑπὲρ ἡμῶν, τῶν ἐν πίστει καὶ πόθῳ τιμώντων σε.

*Ο αὐτός.*

Τὰ κατὰ τῶν παθῶν καὶ δαιμόνων σου παλαίσματα, τίς ἐπαξίως ὑμνήσει Ὅσιε Παΐσιε Πάτερ; ῥοαῖς γὰρ δακρύων, καὶ αἱμάτων προσχύσεσι, τὴν σάρκα δουλώσας τῷ Πνεύματι, εἰς τὸ καθ’ ὁμοίωσιν ἐντεῦθεν ἀνελήλυθας· καὶ ἐν τῷ Ὄρει Σινᾷ, ὥσπερ ἄλλος Μωϋσῆς, νοητῶς ἀναβάς, τὸν ἀθεώρητον ἰδεῖν

κατηξιώθης , τὰς γὰρ θεογράφους πλάκας τῆς χάριτος, ἐν τῇ καρδίᾳ κατέχων, στόμα Θεοῦ ἐχρημάτισας, καὶ κῆρυξ μετανοίας, ἐν τῇ καθ’ ἡμᾶς γενεᾷ. Καὶ νῦν Ὅσιε, μὴ παύσῃ περιέπων ἡμᾶς ὡς συμπαθὴς καὶ φιλότεκνος, παρεστῶτας εὐλαβῶς τῷ πανσέπτῳ σου μνήματι.

*Ἦχος β΄.*

Εὐφήμοις χείλεσιν Ὅσιε, ὡς τῆς Εὐφημίας ἀγαπητόν, καὶ τῆς Παναγίας ἐκλεκτόν, τῆς Εὐλογίας γόνον, καὶ Ἐκκλησίας νέον Ἅγιον, γεγηθότες Παΐσιε, σὲ μακαρίζομεν· εὖ δοῦλε ἀγαθὲ καὶ πιστέ, εὖ ἐργάτα τοῦ ἀμπελῶνος Χριστοῦ· σὺ καὶ τὸ βάρος τῆς ἀσκήσεως ὑπέμεινας, σὺ καὶ τὸ δοθέν σοι τάλαντον ἐπηύξησας, καὶ τοὺς πρὸς σὲ ἐλθόντας πάντας ἠλέησας· διὸ καὶ ἡμῖν τοῖς ὑμνοῦσί σε, αἴτησαι ἁμαρτιῶν συγχώρησιν, καὶ τὸ μέγα ἔλεος.

*Ὁ αὐτός.*

Πάτερ Παΐσιε, εἰς πᾶσαν τὴν γῆν ἐξῆλθεν ὁ φθόγγος τῶν θαυμάτων σου· πολλοὺς γὰρ διασώζεις ἐκ κινδύνων χαλεπῶν, τῇ δοθείσῃ σοι χάρτι· ἀλλὰ καὶ νῦν παρακαλοῦμέν σε Πάτερ, πρέσβευε ὑπὲρ τῆς πατρίδος ἡμῶν, ὅτι ἐχθίστοις ἀποστάταις παρεδόθημεν, διὰ τὰς ἁμαρτίας ἡμῶν· οὐκ ἔστιν ἄρχων καὶ ἡγούμενος τοῦ λαοῦ· δυσώπησον οὖν Ὅσιε, τὸν δίκαιον Χριστόν, ἐλευθερῶσαι ἡμᾶς ἐξ Ἀγαρηνῶν ἀπίστων, αἱρέσεων καὶ πανσπερμίας ἐχθρῶν, ὅτι ἐμίαναν πάντες τὰ ὅσια τοῦ Γένους ἡμῶν. Κύριε,

ἱκεσίαις τοῦ Ὁσίου Σου, καὶ τῆς πανάγνου Μητρός Σου, ἐλέησον ἡμᾶς.

*Δόξα. Ἦχος πλ. α΄.*

Τῶν ἀσκητῶν τὸν ἀκραίμονα καὶ νεολαμπῆ φωστῆρα, τὸν ἐν Ὁσίοις θεῖον Παΐσιον, δεῦτε εὐσεβῶς ὕμνοιςἱεροῖς εὐφημήσωμεν, τὸ μυρίπνοον ῥόδον τοῦ Ἄθωνος, τὴν πολύχορδον λύραν τῆς χάριτος· τῆς Μονῆς τοῦ Θεολόγου προστάτην, καὶ τῶν Ἀγγέλων φαιδρὸν παραστάτην, τὸν θαύμασι πανταχοῦ περιβόητον, καὶ διδάγμασιν ἀληθῶς θεοφόρητον. Ἀλλ' ὦ Πάτερ παγκόσμιε, ἀδιαλείπτως ἱκέτευε, τοῦ σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Θεοτοκίον*

Ναὸς καὶ πύλη ὑπάρχεις, παλάτιον καὶ θρόνος τοῦ Βασιλέως, Παρθένε πάνσεμνε, δι' ἧς ὁ λυτρωτής μου Χριστὸς ὁ Κύριος, τοῖς ἐν σκότει καθεύδουσιν ἐπέφανεν, Ἥλιος ὑπάρχων δικαιοσύνης, φωτίσαι θέλων οὓς ἔπλασε, κατ' εἰκόνα ἰδίαν χειρὶ τῇ ἑαυτοῦ. Διὸ Πανύμνητε, ὡς μητρικὴν παῤῥησίαν πρὸς αὐτὸν κεκτημένη, ἀδιαλείπτως πρέσβευε, σωθῆναι τὰς ψυχὰς ἡμῶν.

*Εἰς τὸν Στίχον. Ἦχος πλ. α΄. Χαίροις ἀσκητικῶν.*

Χαίροις, τῶν ἀσκητῶν ἀληθῶς, ἄνθος εὐῶδες καὶ τερπνὸν ἐγκαλλώπισμα, Πατέρων ἡ ὡραιότης, ὁ ἐν ἐσχάτοις καιροῖς, ἐν ἑώρας λάμψας ὥσπερ ἥλιος· Παΐσιε Ὅσιε, εὐωδία τοῦ Πνεύματος, μύρον χαρίτων, ἐκλογῆς σκεῦος τίμιον, νέον καύχημα, Ἐκκλησίας

καὶ στήριγμα· ἄνθρωπε ἐπουράνιε, ἐπίγειε ἄγγελε, καὶ Προφητῶν Ἀποστόλων, καὶ τῶν Μαρτύρων συνόμιλε, Χριστὸν ἐκδυσώπει, ταῖς ψυχαῖς ἡμῶν δοθῆναι, τὸ μέγα ἔλεος.

Στ.: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Ὕλης, τῆς κοσμικῆς διασχών, καὶ τῷ πυρὶ προσομιλήσας τοῦ Πνεύματος, ἐντεῦθεν τὸν ἀῤῥαβῶνα, τῆς αἰωνίου ζωῆς, χάριτι ἐνθέῳ προαπείληφας· διὸ ἐν ἐρήμοις, ἀγγελικῶς ἐνδιέτριψας, βρώσεως θείας, μετασχὼν παμμακάριστε, συγγενόμενος, τοῖς Ἁγίοις καὶ σύναυλος· ὅθεν καὶ χάριν ἄφθονον, σαφῶς ἐπικέκτησαι, τοῦ θεραπεύειν τὰς νόσους, καὶ ἐκδιώκειν τὰ πνεύματα· Παΐσιε Πάτερ, Ὀρθοδόξων μέγα κλέος, καὶ σεμνολόγημα.

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Χαίρει, ἐν εὐφροσύνῃ πολλῇ, τοῦ Θεολόγου ἡ Μονὴ κεκτημένη σε, προστάτην καὶ θεῖον γέρας, καὶ ὁ τοῦ Ἄθω λειμών, τῆς Παρθένου κλῆρος καὶ διάσωσμα· αὐτὸν γὰρ ἡγίασας, τῇ συντόνῳ ἀσκήσει σου, πᾶσι παρέχων, τὴν θερμήν σου ἀντίληψιν, τοῖς ἐκ πίστεως, ἐπὶ σὲ προσφοιτήσασιν· ὅθεν καὶ νῦν τὸν τάφον σου, κυκλοῦντες πανεύφημε, ἀπὸ καρδίας βοῶμεν· Πάτερ Παΐσιε πρέσβευε, ῥυσθῆναι κινδύνων, καὶ παντοίων ἀλγηδόνων, τοὺς σὲ γεραίροντας.

*Δόξα. Ἦχος πλ. δ΄.*

Ὡς Χριστόδροσος αὔρα ἐν μέσῳ τοῦ θέρους τῆς ἁμαρτίας, τῇ Ἐκκλησίᾳ ἐπέπνευσεν, ἡ μνήμη σου Πάτερ, θεοφόρε Παΐσιε· διὸ καὶ ἡμεῖς οἱ ἐκτακέντες τῷ καύσωνι τῶν παθῶν, δροσιζόμενοι ψάλλομεν· δόξα Σοι Κύριε, ὁ ἐν Ἁγίοις δοξαζόμενος, καὶ ἐν αὐτοῖς ἀναπαυόμενος, ταῖς λιταῖς τοῦ Ὁσίου σου, δώρησαι ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Ἀνύμφευτε Παρθένε, ἡ τὸν Θεὸν ἀφράστως συλλαβοῦσα σαρκί, Μήτηρ Θεοῦ τοῦ ὑψίστου, σῶν οἰκετῶν παρακλήσεις δέχου Πανάμωμε, ἡ πᾶσι χορηγοῦσα καθαρισμὸν τῶν πταισμάτων, νῦν τὰς ἡμῶν ἱκεσίας προσδεχομένη, δυσώπει σωθῆναι πάντας ἡμᾶς.

*Νῦν ἀπολύεις. Τρισάγιον.*

*Ἀπολυτίκιον. Ἦχος α΄. Τῆς ἐρήμου πολίτης.*

Τῶν Ὁσίων τὸν βίον ἐκ παιδὸς μιμησάμενος, ὤφθης ἐν ἐσχάτοις τοῖς χρόνοις, θεοφόρε Πατὴρ ἡμῶν Παΐσιε· ἐν Ἄθῳ γὰρ ἀσκήσει διελθών, καὶ Πνεύματος Ἁγίου πληρωθείς, θεραπεύεις τοὺς νοσοῦντας, καὶ τὰς ψυχὰς τῶν πίστει ἐκβοώντων σοι· Χαίροις τῶν μοναστῶν ἡ καλλονή, χαίροις τοῦ Γένους καύχημα, χαίροις τῆς Ἐκκλησίας τοῦ Χριστοῦ, τὸ νέον ἀγλάϊσμα.

*Δόξα. Ἦχος γ΄. Θείας πίστεως.*

Θεῖον βλάστημα, Καππαδοκίας, νέον καύχημα, τῆς Ἐκκλησίας, ἀνεδείχθης θεοφόρε Παΐσιε· ἀσκητικῶς γὰρ ἐκλάμψας ἐν Ἄθωνι, παρὰ Θεοῦ ἐδοξάσθης τοῖς πέρασι, Πάτερ Ὅσιε, Χριστὸν τὸν Θεὸν ἱκέτευε, δωρήσασθαι ἡμῖν τὸ μέγα ἔλεος.

*Καὶ νῦν. Θεοτοκίον*

Σὲ τὴν μεσιτεύσασαν τὴν σωτηρίαν τοῦ γένους ἡμῶν, ἀνυμνοῦμεν Θεοτόκε Παρθένε· ἐν τῇ σαρκὶ γὰρ τῇ ἐκ σοῦ προσληφθείσῃ, ὁ Υἱός σου καὶ Θεὸς ἡμῶν τὸ διὰ Σταυροῦ καταδεξάμενος πάθος, ἐλυτρώσατο ἡμᾶς, ἐκ φθορᾶς ὡς φιλάνθρωπος.

*Ἀπόλυσις.*

## ΟΡΘΡΟΣ

*Μετὰ τὴν α' Στιχολογίαν,*

*Κάθισμα. Ἦχος α΄. Τὸν τάφον Σου Σωτήρ.*

Ὡς ἄγγελος φωτός, ἐπὶ γῆς διατρίβων, ἐδείχθης ἀληθῶς, ταπεινὸς καὶ ἀκτήμων, Παΐσιε μακάριε, τὴν ὁδὸν τῆς ἀσκήσεως, ἐκ νεότητος, ἔρωτι θείῳ βαδίσας· ὅθεν σήμερον, ἡ τοῦ Χριστοῦ Ἐκκλησία, γεραίρει τὴν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Μητέρα σε Θεοῦ, ἐπιστάμεθα πάντες, Παρθένον ἀληθῶς, καὶ μετὰ τόκον φανεῖσαν, οἱ πόθῳ καταφεύγοντες, πρὸς τὴν σὴν ἀγαθότητα· σὲ γὰρ

ἔχομεν, ἁμαρτωλοὶ προστασίαν· σὲ κεκτήμεθα, ἐν πειρασμοῖς σωτηρίαν, τὴν μόνην πανάμωμον.

*Μετὰ τὴν β' Στιχολογίαν,*
*Κάθισμα. Ἦχος δ΄. Ταχὺ προκατάλαβε.*

Ἐκ βρέφους ἀράμενος τὸν τοῦ Κυρίου ζυγόν, Αὐτῷ ἠκολούθησας ἀπεριτρέπτῳ νοΐ, καὶ πόνοις ἀσκήσεως· ὅθεν τῶν χαρισμάτων, ἀμοιβὴν ἐκομίσω, θαύματα καθ' ἑκάστην, ἐνεργεῖν παραδόξως, τοῖς πόθῳ προσιοῦσι τῷ σῷ, Παΐσιε μνήματι.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ταχὺ δέξαι Δέσποινα τὰς ἱκεσίας ἡμῶν, καὶ ταύτας προσάγαγε τῷ σῷ Υἱῷ καὶ Θεῷ, Κυρία Πανάχραντε, λῦσον τὰς περιστάσεις, τῶν εἰς σὲ προστρεχόντων, σκέδασον τὰς ἐνέδρας, καὶ τὰ θράση Παρθένε, τῶν νῦν ἐφοπλιζομένων, κατὰ τῶν δούλων σου.

*Μετὰ τὸν Πολυέλεον,*
*Κάθισμα. Ἦχος πλ. δ΄. Τὸν συνάναρχον Λόγον.*

Τῶν Ὁσίων τοῖς τρόποις μιμητικῶς, ἐπισπόμενος Πάτερ ἀπὸ παιδός, τὰ πάθη τοῦ σώματος, ἐγκρατείᾳ ἐμάρανας, καὶ καθαρὸν γενόμενος δοχεῖον τοῦ Πνεύματος, Ὀρθοδοξίας λόγοις πιστοὺς παρεθάῤῥυνας· ὅθεν καὶ τῷ θρόνῳ, τῆς Ἁγίας Τριάδος, φαιδρῶς παριστάμενος, καὶ μεθέξει θεούμενος, θεοφόρε Παΐσιε, πρέσβευε Χριστῷ τῷ Θεῷ, τῶν πταισμάτων ἄφεσιν δωρήσασθαι, τοῖς ἑορτάζουσι πόθῳ, τὴν ἁγίαν μνήμην σου.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Ὁ τῶν ὅλων Δεσπότης καὶ Ποιητής, ἐξ ἀχράντου σου μήτρας σάρκα λαβών, προστάτιν σε ἔδειξε, τῶν ἀνθρώπων Πανάμωμε· διὰ τοῦτο πάντες πρὸς σὲ καταφεύγομεν, ἱλασμὸν πταισμάτων αἰτούμενοι Δέσποινα, καὶ αἰωνιζούσης, λυτρωθῆναι βασάνου, καὶ πάσης κολάσεως τῆς ἐκεῖσε δεόμεθα, ἵνα πίστει βοῶμέν σοι· Πρέσβευε Χριστῷ τῷ Θεῷ, τοῦ δοθῆναι πᾶσι Κόρη ἄφεσιν, τοῖς πιστῶς προσιοῦσι τῇ σκέπῃ σου.

Εἶτα, οἱ Ἀναβαθμοί· τὸ α’ Ἀντίφωνον τοῦ δ΄ ἤχου.

Προκείμενον: *Τίμιος ἐναντίον Κυρίου, ὁ θάνατος τοῦ Ὁσίου Αὐτοῦ.*

Στ.: *Μακάριος ἀνὴρ ὁ φοβούμενος τὸν Κύριον.*

Εὐαγγέλιον Ὁσιακόν.

Ὁ Ν’ ψαλμός.

Δόξα: *Ταῖς τοῦ Σοῦ Ὁσίου...*

Καὶ νῦν: *Ταῖς τῆς Θεοτόκου...*

Ἰδιόμελον. Ἦχος πλ. β΄. Στ.: *Ἐλέησόν με ὁ Θεός...*

Ὅσιε Πάτερ, θεοφόρε Παΐσιε, ὁ καρπὸς τῶν καμάτων σου ἐπεύφρανε τῶν πιστῶν τὰς καρδίας· τίς γὰρ οὐκ ἐξέστη, τὴν ὑπομονήν σου καθορῶν, τὴν ἄκραν ταπείνωσιν, καὶ τὴν ἱλαρότητα τὴν θεοειδὴ πρὸς πάντας; Καὶ νῦν ἐν οὐρανοῖς, τὴν ἀνεκλάλητον ἡδονὴν ἐκκαρπούμενος, δυσώπησον ἐλεηθῆναι τὰς ψυχὰς ἡμῶν.

Εἶτα, οἱ Κανόνες· τῆς Θεοτόκου, καὶ τοῦ Ὁσίου οὗ ἡ ἀκροστιχίς: *Τοὺς σούς, Παΐσιε Ὅσιε, πόνους, ἐπαινέσω.*

*ᾨδὴ α΄. Ἦχος πλ. δ΄. Ἁρματηλάτην Φαραώ.*

Τῆς Τρισηλίου παρεστὼς Θεότητος Πάτερ Παΐσιε, τῷ φοβερῷ θρόνῳ, φώτισόν με δέομαι, ὑμνῆσαί σου τὴν ἔνθεον, ἐπὶ γῆς πολιτείαν, καὶ τὰ σεπτά σου παλαίσματα, ἅπερ ὡς ἀσώματος ἤνυσας.

Οὐρανοδρόμῳ ἐπιβὰς ὀχήματι τῶν ἀρετῶν τοῦ Χριστοῦ, πᾶσαν ὑπερέβης, κοσμικὴ προσπάθειαν, τὴν φύσιν βιασάμενος, ἐγκρατείας τοῖς πόνοις, καὶ προαιρέσει γενόμενος, Μάρτυς θεοφόρε ἀναίμακτος.

Ὑπερορίαν τῆς πατρίδος ἄδικον ἐν ἀωρίᾳ σαρκός, καθυποστὰς Πάτερ, καὶ θαλάσσης θάνατον, διαφυγὼν Παΐσιε, λιμὴν ἄκλυστος ὤφθης, τῶν ποντουμένων τῷ κλύδωνι, καὶ ταῖς τρικυμίαις τῶν θλίψεων.

*Θεοτοκίον.*

Σεσαρκωμένον δι᾽ ἡμᾶς ἐκύησας τὸν προαιώνιον, τοῦ Πατρὸς Λόγου, μόνη χρηματίσασα, μεθόριον τῆς φύσεως, τῆς κτιστῆς Παναγία, καὶ τῆς ἀκτίστου Θεότητος, καὶ βροτῶν αἰτία θεώσεως.

*ᾨδὴ γ΄. Ὁ στερεώσας κατ᾽ ἀρχάς.*

Στρατολογίᾳ ἱερᾷ, κακοπαθήσας παμμάκαρ, ὡς καλὸς τοῦ Ἰησοῦ στρατιώτης, τῇ δυνάμει τοῦ Σταυροῦ, ἀσκητικῶς κατέβαλες, πάσας τὰς μεθοδείας, τοῦ πονηροῦ κοσμοκράτορος.

Ὄρος Σινᾶ καταλαβών, τὸ θεοβάδιστον Πάτερ, τὴν ἁγίαν κορυφὴν ἐθεώρεις, τὰς ἐκεῖθεν νοεράς, ἐλλάμψεις εἰσδεχόμενος, καὶ Μωϋσῆς ὡς ἄλλος, φίλος Θεοῦ γνωριζόμενος.

Ὑπὸ τοῦ Πνεύματος ἀχθείς, εἰς τὸν τοῦ Ἄθω λειμῶνα, ἀρετῶν ἀσκητικῇ γεωργίᾳ, ὡς ἐλαίᾳ ψαλμικῶς, Παΐσιε ἐξήνθισας, καὶ ἀπαθείας βότρυν, ὥριμον Πάτερ ἐτρύγησας.

*Θεοτοκίον.*

Σὲ τὴν Παρθένον καὶ ἁγνήν, τοῦ Θεοῦ Λόγου Μητέρα, ἡ τοῦ Πνεύματος σκηνώσασα Χάρις, πλατυτέρα οὐρανῶν, καὶ τῶν Ἀγγέλων Δέσποινα ὑπερενδοξοτέρα, θεοπρεπῶς ἀπεργάσατο.

*Κάθισμα. Ἦχος γ. Θείας πίστεως.*

Τύπος πέφηνας, τῆς ἐγκρατείας, καὶ διδάσκαλος, τῆς μετανοίας, ὡς μιμητὴς τῶν Ἀποστόλων Παΐσιε· ἐν ἐρημίαις παμμάκαρ πλανώμενος, καὶ τῶν δαιμόνων τὰς τάξεις τροπούμενος· ἀλλὰ πρέσβευε Κυρίῳ ἡμῖν δωρήσασθαι, συγχώρησιν πταισμάτων καὶ μέγα ἔλεος.

*Δόξα. Καὶ νῦν. Θεοτοκίον.*

Θείου Πνεύματος, τῇ ἐπελεύσει, Μήτηρ γέγονας, τοῦ Θεοῦ Λόγου, εὐλογημένη Μαρία πανάμωμε· τὸν γὰρ Σωτῆρα τοῦ κόσμου γεννήσασα, κραταιοτάτη ἰσχὺς μόνη γέγονας· διὸ ἄχραντε, τὸ χαῖρέ Σοι ἀναμέλπομεν, τῇ Κεχαριτωμένῃ καὶ μεγαλύνομεν.

*ᾨδὴ δ΄. Σύ μου ἰσχύς.*

Προφητικῶς, κεκοσμημένος χαρίσματι, ὡς παρόντα Πάτερ τὰ ἐσόμενα, προεθεώρεις καὶ τῇ ἀφῇ, μόνη ἐχορήγεις, τοῖς ἀσθενοῦσι τὴν ἴασιν, πατὴρ παραμυθίας, καὶ τύπος εὐσπλαγχνίας, ἀκριβὴς τοῦ Δεσπότου γενόμενος.

Ἀνατεθείς, ὡς Σαμουὴλ ἱερώτατε, τῷ Κυρίῳ ἐν νηδύος Ὅσιε, τῆς μητρικῆς σκεῦος ἐκλογῆς, γόνος εὐλογίας, ἀπὸ Θεοῦ ἀναδέδειξαι, νοῦς ὅσιος καὶ νήφων, πατρίδος εὐεργέτης, καὶ νεόφυτον ἄνθος τῆς πίστεως.

Ἰχνηλατῶν, τὸ τοῦ Σωτῆρος ὑπόδειγμα, ἐπαγρύπνοις προσευχαῖς Παΐσιε, ὑπὲρ τοῦ κόσμου ἐγκαρτερῶν, ὡς θυσία ζῶσα, καὶ ὁλοκαύτωμα ἔμψυχον, Θεῷ προσανηνέχθης, γενόμενος τὰ πάντα, τοῖς εἰς σὲ εὐλαβῶς προσπελάσασι.

*Θεοτοκίον.*

Σοὶ ἀληθῶς, τῇ Θεοτόκῳ τὸν ἔπαινον, ἐναγέσι καὶ βεβήλοις χείλεσι, πῶς ἀναπέμψω ὁ ἐμπαθής; Πῶς εὐχαριστήσω, ἀξιοχρέως Σε Δέσποινα; Δοξάζω Σου Παρθένε, τὴν ἄσπορον λοχείαν, καὶ τὴν Σὴν μεγαλύνω χρηστότητα.

*ᾨδὴ ε΄. Ἵνα τί με ἀπώσω.*

Ἰοβόλου κακίας, τοῦ ἀνθρωποκτόνου φυγὼν τὰ κεντήματα, καὶ διὰ νηστείας, χαλινώσας σαρκὸς τὰ σκιρτήματα, σκεῦος ἀπαθείας, καὶ τῆς τοῦ Πνεύματος σοφίας, καθωράθης παμμάκαρ Παΐσιε.

Ἐνεκρώθης τῷ κόσμῳ, δι᾽ ἀσκητικῆς πολιτείας Παΐσιε, καὶ κατηξιώθης, ἀειζώου εὐκλείας καὶ χάριτος· δωρεᾷ θαυμάτων, καὶ νῦν δοξάζει σὲ ἀξίως, ὁ τῆς δόξης Σωτήρ, Ὃν ἐδόξασας.

Οἰκητήριον θεῖον, ἀσκουσῶν τῇ σεπτῇ προμηθείᾳ σου ἤγειρας, καὶ ἐν τῷ Στομίῳ, τὴν ἁγίαν Μονὴν ἀνεστήλωσας· ἔδωκας γὰρ αἷμα, καὶ προσαπέλαβες τὸ Πνεῦμα, τὸ πανάγιον Πάτερ Παΐσιε.

*Θεοτοκίον.*

Σεραφεὶμ καὶ Δυνάμεις, Ἄγγελοι Ἀρχάγγελοι Ἀρχαὶ Κυριότητες, Ἐξουσίαι Θρόνοι, Χερουβεὶμ ἀσιγήτως δοξάζουσι, Σὲ τὴν ὑπὲρ λόγον, τὸν Θεὸν Λόγον συλλαβοῦσαν, καὶ ἀσπόρως τεκοῦσαν πανάμωμε.

*Ὠδὴ στ᾽. Ἱλάσθητί μοι Σωτήρ.*

Ἰσάγγελος ἐπὶ γῆς, μετὰ σαρκὸς ἐχρημάτισας, νεόφωτος ὡς ἀστήρ, τὸν κόσμον ἐλάμπρυνας, Παΐσιε Ὅσιε, καὶ νῦν μετ᾽ Ἀγγέλων, συγχορεύεις ἀγαλλόμενος.

Ἐν Ἄθῳ ὡς ἀετός, τὰς ἀναβάσεις τοῦ Πνεύματος, ἐτέλεις ὑπερφυῶς, ἀσκῶν μέχρις αἵματος, νηστείαν ἐγκράτειαν, ἐλεημοσύνην, καὶ εὐχὴν τὴν ἀδιάλειπτον.

Πλουσίως θαυματουργῶν, ἀπὸ τοῦ τάφου Παΐσιε, καὶ πλήθη ἀποσοβῶν, δαιμόνων ἑκάστοτε, τὰ χρόνια ἴασαι, τῆς ψυχῆς μου πάθη, καὶ τοῦ σώματος πρεσβείαις σου.

*Θεοτοκίον.*

Ὃν φρίττει τὰ Χερουβείμ, καὶ ἀσιγήτως δοξάζουσι, συνέλαβες ἐν γαστρί, ἀσπόρως πανάμωμε, Παρθένος ἀμόλυντος, πρὸ καὶ μετὰ τόκον, καὶ ἐν τόκῳ διαμείνασα.

*Κοντάκιον. Ἦχος πλ. δ΄. Τῇ Ὑπερμάχῳ.*

Ὡς ἐκ παιδὸς προσενεχθεὶς Χριστῷ μακάριε, δι' ἐγκρατείας ὁλοκάρπωμα αἰνέσεως, τῷ ἐκ μήτρας τῆς κοιλίας σὲ κεκλημένῳ, ἀνεδείχθης ἀσκητῶν τὸ ἀκροθίνιον, καὶ ἀστὴρ τῆς Ἐκκλησίας πλουσιόφωτος· διὸ κράζομεν· χαίροις Πάτερ Παΐσιε.

*Ὁ Οἶκος.*

Εὐλογίας ὑπάρχων γόνος, Πάτερ Παΐσιε, εὐλογία ἡμῖν ἀληθῶς δεδώρησαι ἐν τῇ ἐσχάτῃ γενεᾷ· συντόνῳ γὰρ ἀσκήσει ἀνατεθεὶς καὶ συγκραθεὶς τῷ Θεῷ μακάριε, ὤφθης τοῦ Παρακλήτου ἀκηλίδωτον ἔσοπτρον, τὰς ἀκτίνας τῆς Χάριτος προσεφαπλῶν ἡμῖν διὰ τοῦ πλήθους τῶν θαυμασίων· ὅθεν καὶ νῦν Ὅσιε, πρέσβευε τῷ Κυρίῳ, τοῦ δοθῆναί μοι εὔλογον ἔπαινον, ὅπως ἐπαξίως εὐφημήσω σου τὴν ἰσάγγελον ἐπὶ γῆς πολιτείαν, δι' ἧς ἐδόξασας Χριστὸν τὸν Θεὸν ἡμῶν· ἡμεῖς δὲ πιστῶς βοῶμέν σοι· χαίροις Πάτερ Παΐσιε.

*Συναξάριον.*

Τῇ ΙΒ΄ τοῦ αὐτοῦ μηνός, Μνήμη τοῦ Ὁσίου Παϊσίου τοῦ Ἁγιορείτου.

*Ζήσας ὥσπερ ἄγγελος Πάτερ ἐν βίῳ,*
*νῦν συγχορεύεις μετ᾽ Ἀγγέλων ἐν πόλῳ.*
*Ἀμφὶ δυωκαιδεκάτην Παΐσιος γῆθεν ἐπήρθη.*

*ᾨδὴ ζ΄. Θεοῦ συγκατάβασιν.*

Νομίμως ἠγώνισαι, ἐν τῇ προσκαίρῳ καὶ πολυμόχθῳ ζωῇ, ὡς θεράπων Κυρίου, καὶ ζηλωτὴς Αὐτοῦ ἐνθεώτατος· διὸ καὶ νῦν θεραπεύεις τοὺς ψάλλοντας· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὁσίων ὁμόσκηνος, καὶ τοῖς Ἀγγέλοις συναυλιζόμενος, σὺν Μαρτύρων χορείαις, καὶ Ἀποστόλων τοῖς δήμοις Παΐσιε· ἀκαταπαύστως κραυγάζεις γηθόμενος· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

Ὑπὲρ τῶν ἐκ πίστεως, καὶ εὐλαβείας προσκαλουμένων σε, ἐκδυσώπει παμμάκαρ, τὸν ἐλεήμονα Κτίστην καὶ Κύριον, ἀπαλλαγῆναι παθῶν τε καὶ θλίψεων, καὶ εὐλογεῖν τὸν Θεόν, τὸν τῶν Πατέρων ἡμῶν.

*Θεοτοκίον.*

Σαρκώσεως ἄχραντε, ἀκαταλήπτου χωρίον γέγονας· τὸν Θεὸν γὰρ καὶ Λόγον, ἐν Σῇ γαστρὶ ἀπειράνδρως ἐκύησας, Ὃν ἀνυμνοῦντες πιστῶς ἀναμέλπομεν· Εὐλογητὸς ὁ Θεός, ὁ τῶν Πατέρων ἡμῶν.

*ᾨδὴ η΄. Ἑπταπλασίως κάμινον.*

Εἰς φωτεινὰ σκηνώματα, Παραδείσου Παΐσιε, ἡ μαρτυρική σου ψυχὴ ἀναπαύεται, εἰς τόπον ἀνέσεως,

καὶ θεϊκῆς ἐλλάμψεως, ἔνθα τῶν Ἁγίων οἱ χοροὶ καὶ Ἀγγέλων· μεθ’ ὧν Πάτερ κραυγάζεις· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Περιχορεύων Ὅσιε, εἰς παστάδα οὐράνιον, καὶ ἐνδεδυμένος καθαρὸν ἱμάτιον, ἡμῶν τῶν τελούντων σου, τὴν ἱερὰν πανήγυριν, μέμνησο πρεσβεύων, τοῦ ῥυσθῆναι πταισμάτων, ἀπαύστως μελῳδεῖν τε· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

Ἀπὸ τοῦ τάφου Ἅγιε, ἀναβλύζεις ἰάματα, καὶ καταδιώκεις τῶν δαιμόνων τάγματα, εὐφραίνεις τῇ χάριτι, τοῦ παναγίου Πνεύματος, τοὺς εἰλικρινῶς περιεστῶτάς σε Πάτερ, καὶ πίστει ἐκβοῶντας· Ἱερεῖς εὐλογεῖτε, λαὸς ὑπερυψοῦτε, Χριστὸν εἰς τοὺς αἰῶνας.

*Θεοτοκίον.*

Ἱκετικῶς προσπίπτομεν, τοῖς ποσί Σου πανάχραντε, καὶ ἐκδυσωποῦμέν Σε Κόρη πανάμωμε· οἰκτείρισον Δέσποινα, τοὺς ἐπὶ Σοὶ προστρέχοντας, καὶ ἐπιζητοῦντας τὴν ταχεῖάν Σου σκέπην, καὶ λύτρωσαι Παρθένε, ἐκ φλογὸς τῆς γεένης, τοὺς Σὲ ὑμνολογοῦντας, τὴν μόνην Θεοτόκον.

*Ὠδὴ θ΄. Ἐξέστη ἐπὶ τούτῳ.*

Νηστείᾳ ἀγρυπνίᾳ καὶ προσευχῇ, τὰ χαρίσματα Πάτερ τοῦ Πνεύματος, ἀπολαβών, μέγας ἀνεδείχθης θαυματουργός, πρὸ καὶ μετὰ τὴν κοίμησιν, ξένα καὶ παράδοξα ἐνερηῶν, κατ’ ὄναρ καὶ καθ’ ὕπαρ, Παΐσιε παμμάκαρ, τῶν ἀσκητῶν τὸ ἀκροθίνιον.

Ἐπέστη σου ἡ μνήμη ἡ φωταυγής, καὶ λαμπρότης Ἁγίων ἀνέτειλε, ἐν οὐρανοῖς, Πάτερ ὡς δικαίῳ σοι ἐπὶ γῆς, τοῦ γὰρ Χριστοῦ τὸ πρόσωπον, ὅπερ προκατεῖδες νῦν καθορᾷς, μεθέξει ἀποῤῥήτῳ, καὶ τῆς ἀειπαρθένου, τὴν ὑπὲρ λόγον ὡραιότητα.

Σκεπάζεις καὶ φυλάττεις τὴν σὴν Μονήν, θεοφόρε Παΐσιε Ὅσιε, ἐκ πειρασμῶν, νόσων καὶ σκανδάλων παντοδαπῶν, ὡς παῤῥησίαν κτώμενος, καὶ συμπρεσβευτὰς ἔχων σαῖς λιταῖς, Ἀρσένιον τὸν νέον, σὺν θείῳ Ἰωάννῃ, τῷ Θεολόγῳ καὶ θεόφρονι.

*Θεοτοκίον.*

Ὢ Μῆτερ τοῦ Δεσπότου καὶ Λυτρωτοῦ, μὴ ἐλλίπῃς ὑφαίνειν ἱμάτιον, τῶν ἀρετῶν, ἄχραντε ἱστίῳ Σῶν πρεσβειῶν, ὑπὲρ ἡμῶν τῶν δούλων Σου, ἵνα ἐν τοῖς γάμοις τοῦ Σοῦ Υἱοῦ, ὡς φρόνιμοι παρθένοι, εἰσέλθωμεν ἀξίως, εἰς τὴν χαρὰν τὴν ἀνεκλάλητον.

*Ἐξαποστειλάριον. Τοῖς Μαθηταῖς συνέλθωμεν.*

Καππαδοκίας βλάστημα, ἱερὸν καὶ ὡραῖον, τῆς Ἐκκλησίας καύχημα, καὶ πατρίδος τὸ νέον, Πάτερ Παΐσιε ὤφθης, ἐν ἐσχάτοις τοῖς χρόνοις, ὡς ἀσκητὴς θεόληπτος, καὶ φωστὴρ μοναζόντων ἀειλαμπής· πρέσβευε δεόμεθα τῷ Κυρίῳ, μετάνοιαν δωρήσασθαι, καὶ εἰρήνην τῷ κόσμῳ.

*Θεοτοκίον.*

Ὑπεραγία Δέσποινα, Θεοτόκε Μαρία, ἀμόλυντε πανάμωμε, κόσμου παντὸς Κυρία, Σὲ δυσωποῦμεν ὢ Μῆτερ, παρακάλεσον τάχει, μετὰ δακρύων πίπτουσα,

τοῖς ποσὶ τοῖς ἀχράντοις τοῦ Σοῦ Υἱοῦ, ἄφεσιν πταισμάτων ἡμῖν δοθῆναι.

*Αἶνοι. Ἦχος πλ. δ΄. Ὢ τοῦ παραδόξου θαύματος.*

Ὅσιε Πάτερ Παΐσιε, τῶν ἀρετῶν τῷ φωτί, αὐγασθεὶς τὴν διάνοιαν, τοῦ Ἁγίου Πνεύματος, οἰκητήριον γέγονας, τῆς ἐγκρατείας ἔργοις κοσμούμενος, καὶ δι' ἀγάπης Θεῷ ἑνούμενος· ὅθεν νῦν φώτισον, τοὺς πίστει καὶ πόθῳ σου τὴν ἱεράν, κοίμησιν γεραίροντας, καὶ μακαρίζοντας.

Ὅσιε Πάτερ Παΐσιε, τὸν τοῦ Κυρίου ζυγόν, τὸν χρηστὸν ἐκ νεότητος, ἐπ' ὤμων ἀράμενος, δι' ἀσκήσεως ὥδευσας, τὴν τεθλιμμένην τρίβον μακάριε, καὶ νῦν εἰς πλάτος τοῦ Παραδείσου οἰκῶν, αἴτησαι Ἅγιε, δωρηθῆναι ἄφεσιν ἁμαρτιῶν, πᾶσι τοῖς προσπίπτουσι, τῷ θείῳ τάφῳ σου.

Πάτερ παμμάκαρ Παΐσιε, τοῦ γλυκυτάτου Χριστοῦ, τὴν μορφὴν τὴν ἀκήρατον, Ὥσπερ προαπήλαυσας, αἰσθητῶς μετὰ σώματος· καὶ ὡς ἐγεύθης ἄρτον οὐράνιον, ταῖς ἀμωμήτοις τῆς Θεοτόκου χερσί, οὕτως ἀξίωσον, τῆς μερίδος ἅπαντας τῶν ἐκλεκτῶν, τυχεῖν ταῖς πρεσβείαις σου, ἐν ὥρᾳ κρίσεως.

Πάτερ θεόφρον Παΐσιε, ὡς κιβωτὸν μυστικήν, ἁγιάσματος βλύζουσαν, θείαν χάριν πάντοτε, καθορῶμεν τὸν τάφον σου, καὶ προσκυνοῦντες πιστῶς λαμάνομεν, τὴν θεραπείαν ψυχῆς καὶ σώματο· ὅθεν βοῶμέν σοι· ἣν θερμῶς ἠγάπησας σεπτὴν Μονήν, φύλαξον καὶ φρούρησον, ταῖς ἱκεσίαις σου.

*Δόξα. Ἦχος δ΄.*

Τῆς καθ’ ἡμᾶς Ἀνατολῆς ἀποσπερίτην τὸν ἄδυτον, καὶ ὑπὲρ ἥλιον λάμποντα, ἐν τῷ νοητῷ στερεώματι, ὕμνοις ἐγκωμίων λαμπρῶς μακαρίσωμεν, Παΐσιον τὸν Ὅσιον, τὸν τοῦ Πνεύματος πρίγκηπα, καὶ εὐσεβῆ βιαστήν, τῆς τοῦ Θεοῦ εὐσπλαγχνίας· χαίροις, λέγοντες, ἁγιώτατε Πάτερ παγκόσμιε, ἡ πηγὴ τῶν θαυμάτων, καὶ βρύσις τῶν ἰαμάτων, ὁ φῶς οἰκῶν ἀπρόσιτον ἐν οὐρανοῖς, καὶ πρεσβεύων ὑπὲρ τῶν ψυχῶν ἡμῶν.

*Καὶ νῦν. Θεοτοκίον*

Νεῦσον παρακλήσει σῶν οἰκετῶν Πανάμωμε, παύουσα δεινῶν ἡμῶν ἐπαναστάσεις, πάσης θλίψεως ἡμᾶς ἀπαλλάττουσα· σὲ γὰρ μόνην ἀσφαλῆ, καὶ βεβαίαν ἄγκυραν ἔχομεν, καὶ τὴν σὴν προστασίαν κεκτήμεθα. Μὴ αἰσχυνθῶμεν Δέσποινα, σὲ προσκαλούμενοι, σπεῦσον εἰς ἱκεσίαν, τῶν σοὶ πιστῶς βοώντων· Χαῖρε Δέσποινα, ἡ πάντων βοήθεια, χαρὰ καὶ σκέπη, καὶ σωτηρία τῶν ψυχῶν ἡμῶν.

*Δοξολογία Μεγάλη καὶ Ἀπόλυσις.*

*Μεγαλυνάριον.*

Τῆς Καππαδοκίας νέος βλαστός, καὶ τῆς Ἐκκλησίας ὁ ἀκένωτος θησαυρός· χαίροις ὁ πηγάζων, ἐκ τάφου σου τὰ ῥεῖθρα, πιστοῖς τῶν ἰαμάτων, Πάτερ Παΐσιε.